Ὀκταούιον, ἐκ Λιβύης εἶναι δοκοῦντα λέγοντος δ᾽ αὐτοῦ
φάσκοντα μὴ ἀκούειν, ʽκαὶ μὴν τετρυπημένον᾽ ἔφη
ʽἔχεις τὸ οὖς.᾽ καὶ Μελάνθιος ὑπὸ τοῦ κωμῳδιοποιοῦ
καταγελώμενος ἔφη ʽοὐκ ὀφειλόμενόν μοι ἀποδίδως
ἔρανον.᾽ μᾶλλον οὖν τὰ σκώμματα δάκνει, καθάπερ τὰ
E παρηγκιστρωμένα βέλη πλείονα χρόνον ἐμμένοντα, καὶ
λυπεῖ τοὺς σκωφθέντας † ἡ τέρψις τῇ κομψότητι καὶ
ἡδύνει τοὺς παρόντας· ἡδόμενοι γὰρ ἐπὶ τῷ λεγομένῳ,
πιστεύειν ⟨δοκοῦσι καὶ συν⟩διασύρειν τῷ λέγοντι. ⟨ὀνει-
δι⟩σμὸς γάρ ἐστιν ⟨τῆς⟩ ἁμαρτίας παρε⟨σχηματισμένος
τὸ⟩ σκῶμμα κατὰ τὸν Θεόφραστον· ὅθεν ἐξ αὑτοῦ τῇ
ὑπονοίᾳ προστίθησιν ὁ ἀκούσας τὸ ἐλλεῖπον ὡς εἰδὼς καὶ
πιστεύων. ὁ γὰρ γελάσας καὶ ἡσθείς, τοῦ Θεοκρίτου
(FHG II 87) πρὸς τὸν δοκοῦντα λωποδυτεῖν ἐρωτῶντα δ᾽
αὐτὸν εἰ ἐπὶ δεῖπνον βαδίζει φήσαντος βαδίζειν ἐκεῖ
μέντοι καθεύδειν, βεβαιοῦντι τὴν διαβολὴν ὅμοιός ἐστιν.
F διὸ καὶ προσαναπίμπλησι τοὺς παρόντας ὁ σκώπτων παρὰ
μέλος κακοηθείας, ὡς ἐφηδομένους καὶ συνυβρίζοντας.
ἐν δὲ τῇ καλῇ Λακεδαίμονι τῶν μαθημάτων ἐδόκει τὸ
σκώπτειν ἀλύπως καὶ σκωπτόμενον φέρειν· εἰ δέ τις
ἀπείποι σκωπτόμενος, εὐθὺς ὁ σκώπτων ἐπέπαυτο. πῶς
οὖν οὐ χαλεπὸν εὑρεῖν σκῶμμα τῷ σκωπτομένῳ κεχαρισ-
632 μένον, | ὅπου καὶ τὸ μὴ λυποῦν τοῦ σκώμματος οὐ τῆς
τυχούσης ἐμπειρίας καὶ δεξιότητός ἐστιν;᾽